καὶ ἐξῆλθεν Ιουδιθ, αὐτὴ καὶ ἡ παιδίσκη αὐτῆς μετ᾽ αὐτῆς· ἀπ-
εσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλεως ἕως οὗ κατέβη τὸ ὄρος,
ἕως διῆλθεν τὸν αὐλῶνα καὶ οὐκέτι ἐθεώρουν αὐτήν. — [11]καὶ ἐπο- 11
ρεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν, καὶ συνήντησεν αὐτῇ προφυ-
λακὴ τῶν Ἀσσυρίων. [12]καὶ συνέλαβον αὐτὴν καὶ ἐπηρώτησαν Τίνων 12
εἶ καὶ πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ; καὶ εἶπεν Θυγάτηρ εἰμὶ τῶν
Εβραίων καὶ ἀποδιδράσκω ἀπὸ προσώπου αὐτῶν, ὅτι μέλλουσιν
δίδοσθαι ὑμῖν εἰς κατάβρωμα· [13]κἀγὼ ἔρχομαι εἰς τὸ πρόσωπον 13
Ολοφέρνου ἀρχιστρατήγου δυνάμεως ὑμῶν τοῦ ἀπαγγεῖλαι ῥήματα
ἀληθείας καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁδὸν καθ᾽ ἣν πορεύσεται
καὶ κυριεύσει πάσης τῆς ὀρεινῆς, καὶ οὐ διαφωνήσει τῶν ἀνδρῶν
αὐτοῦ σὰρξ μία οὐδὲ πνεῦμα ζωῆς. [14]ὡς δὲ ἤκουσαν οἱ ἄνδρες 14
τὰ ῥήματα αὐτῆς καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς — καὶ ἦν
ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα —, καὶ εἶπαν πρὸς
αὐτήν [15]Σέσωκας τὴν ψυχήν σου σπεύσασα καταβῆναι εἰς πρόσ- 15
ωπον τοῦ κυρίου ἡμῶν· καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκηνὴν αὐτοῦ,
καὶ ἀφ᾽ ἡμῶν προπέμψουσίν σε, ἕως παραδώσουσίν σε εἰς χεῖρας
αὐτοῦ· [16]ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ, μὴ φοβηθῇς τῇ καρδίᾳ σου, 16
ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου, καὶ εὖ σε ποιήσει. [17]καὶ 17
ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν καὶ παρέζευξαν αὐτῇ καὶ τῇ
ἅβρᾳ αὐτῆς, καὶ ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν Ολοφέρνου. [18]καὶ 18
ἐγένετο συνδρομὴ ἐν πάσῃ τῇ παρεμβολῇ, διεβοήθη γὰρ εἰς τὰ
σκηνώματα ἡ παρουσία αὐτῆς· καὶ ἐλθόντες ἐκύκλουν αὐτήν, ὡς
εἱστήκει ἔξω τῆς σκηνῆς Ολοφέρνου, ἕως προσήγγειλαν αὐτῷ περὶ
αὐτῆς. [19]καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς καὶ ἐθαύμαζον τοὺς 19
υἱοὺς Ισραηλ ἀπ᾽ αὐτῆς, καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐ-
τοῦ Τίς καταφρονήσει τοῦ λαοῦ τούτου, ὃς ἔχει ἐν ἑαυτῷ γυναῖ-
κας τοιαύτας; ὅτι οὐ καλόν ἐστιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα
ἕνα, οἳ ἀφεθέντες δυνήσονται κατασοφίσασθαι πᾶσαν τὴν γῆν.
[20]καὶ ἐξῆλθον οἱ παρακαθεύδοντες Ολοφέρνῃ καὶ πάντες οἱ θερά- 20
ποντες αὐτοῦ καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκηνήν. [21]καὶ ἦν Ολο- 21
φέρνης ἀναπαυόμενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπίῳ, ὃ
ἦν ἐκ πορφύρας καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν
καθυφασμένων. [22]καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς, καὶ ἐξῆλθεν εἰς 22
τὸ προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ. [23]ὡς δὲ 23
ἦλθεν κατὰ πρόσωπον αὐτοῦ Ιουδιθ καὶ τῶν θεραπόντων αὐτοῦ,

10 μετ αυτης > A | εως ult.] + ου A | εθεωρουν] -ρων S†, -ρουσαν A || 13 το > S | αναγγειλαι B || 14 αυτης 1⁰] ταυτα S† | θαυμασιον] -σια A, θαυμαστον *SL*† | τω καλλει > S† || 15 εις προσωπον του κυριου] προς τον κυριον S† | παραδωσουσι(ν)] -δωσι(ν) BS**L*† || 16 ευ] ευθη A† || 17 απελεξαν B*S*† | ολοφερνου] pr. του S† || 18 παση > B*† || 19 εθαυμαζον 1⁰ ⌒ 2⁰ A*† | ειπεν] -παν A | ου > S* | εστιν > S† | υπολειπ. / εξ αυτων] tr. A | εξ αυτων / ανδρα] tr. S† || 21 καθυφασμενον S

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1043 UNIVERSITÄT LEIPZIG